ἐπιστρέφω, … ἐπεστράφην	turn around	Πλούτων, -ωνος, ὁ	Pluto (Hades)
Εὐρυδίκη, -ης, ἡ	Eurydice		
θάπτω	bury	ὑποστρέφω	turn back
θεάομαι	look at	ὑπισχνέομαι, … ὑπεσχόμην	promise

Practice Sentences

1. ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.   (Euripides)

2. καὶ συγκαλέσας ἐκείνους ἔφη   (Thucydides, adapted)
   χρῆναι πληροῦν ναῦς ὡς πλείστας.

3. σῶσαι γὰρ ὁπόταν ἄνδρα τῷ θεῷ δοκῇ,   (Euripides)
   πολλοὺς πόρους δίδωσιν εἰς σωτηρίαν.

4. ταῦτα ἐποίουν μέχρι σκότος ἐγένετο.   (Xenophon)

5. χρὴ ποιεῖν ὅσα ὁ θεὸς ἐκέλευσεν.   (Xenophon)

6. καὶ ἐπὶ τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος πρίν τινας   (Xenophon)
   αἰσθέσθαι τῶν πολεμίων.

Vocabulary:

ἄκρον, -ου, τό	summit	πόρος, -ου, ὁ	path, way
ὁπόταν	= ὅταν	σκότος, -ου, ὁ	darkness
ὅσος, -η, -ον	however many, as many as	σωτηρία, -ας, ἡ	safety
πληρόω	fill; 'man' (a ship)	Χειρίσοφος, -ου, ὁ	Cheirisophus

Chapter 26 Vocabulary (11)

Verbs:

ἀξιόω, ἀξιώσω, ἠξίωσα, ἠξίωκα, ἠξίωμαι, ἠξιώθην	consider worthy
δηλόω, δηλώσω, ἐδήλωσα, δεδήλωκα, δεδήλωμαι, ἐδηλώθην	show, reveal; explain
ἐάω, ἐάσω, εἴασα, εἴακα, εἴαμαι, εἰάθην (*impf.* εἴων)	allow; let alone
κρατέω, κρατήσω, ἐκράτησα, κεκράτηκα, κεκράτημαι, ἐκρατήθην (+ *gen.*)	be victorious, conquer, rule; surpass, excel

Noun:

νοῦς, νοῦ, ὁ	mind; perception, sense

Adjective:

ἐχθρός, ἐχθρά, ἐχθρόν	hated, hateful; hostile (to)

Conjunctions:

ἐπειδάν	when, whenever
ἕως	until; while, so long as
μέχρι	until; while, so long as
ὅταν	whenever
πρίν (+ *finite verb*)	until
(+ *inf.*)	before

1. **The verb εἶμι, 'go'**
2. **The verb δείκνυμι**
3. **The verb λανθάνω with supplementary participle**
4. **Directional adverbs and suffixes**

1. The verb εἶμι, 'go'

The verb εἶμι, 'go' has only the 1st principal part. The present indicative often has the meaning 'I shall go' and is used in place of the future of ἔρχομαι. εἶμι, 'go' can be distinguished from εἰμί, 'be' by its accent and the presence of ι in all forms.

		εἶμι, 'go'		**εἰμί, 'be'**	
INDICATIVE					
		present	**imperfect**	**present**	**imperfect**
sing.	1st	εἶμι	ᾖα	εἰμί	ἦ / ἦν
	2nd	εἶ	ᾔεισθα	εἶ	ἦσθα
	3rd	εἶσι(ν)	ᾔειν	ἐστί(ν)	ἦν
plur.	1st	ἴμεν	ᾖμεν	ἐσμέν	ἦμεν
	2nd	ἴτε	ᾖτε	ἐστέ	ἦτε
	3rd	ἴᾱσι(ν)	ᾖσαν	εἰσί(ν)	ἦσαν
SUBJUNCTIVE					
sing.	1st	ἴω	ὦ		
	2nd	ἴῃς	ᾖς		
	3rd	ἴῃ	ᾖ		
plur.	1st	ἴωμεν	ὦμεν		
	2nd	ἴητε	ἦτε		
	3rd	ἴωσι(ν)	ὦσι(ν)		

OPTATIVE

sing.	1st	ἴοιμι	εἴην
	2nd	ἴοις	εἴης
	3rd	ἴοι	εἴη
plur.	1st	ἴοιμεν	εἶμεν
	2nd	ἴοιτε	εἶτε
	3rd	ἴοιεν	εἶεν

IMPERATIVE

sing.	2nd	ἴθι	ἴσθι
plur.	2nd	ἴτε	ἔστε

INFINITIVE   ἰέναι   εἶναι

PARTICIPLE   ἰών, ἰοῦσα, ἰόν   ὤν, οὖσα, ὄν
                        ἰόντος, *etc.*   ὄντος, *etc.*

Fun fact: Like ἄγε and φέρε, the imperative ἴθι often precedes another imperative: 'come, (do this)' (Ch.18.3).

EXERCISE 27.1. Identify each form as indicative, subjunctive, optative, or imperative (with person, number, and tense) or infinitive (with tense).

1. εἶσι
2. εἰσί
3. ἰέναι
4. ἴσθι

5. εἶμεν
6. ἴητε
7. ἦσαν
8. ἦμεν

2. The verb δείκνυμι

Some athematic verbs, like δείκνυμι, 'show,' have a present stem ending in -υ. This vowel is constant throughout the paradigm (long in the singular, short in the plural), so these verbs are easy to recognize.

INDICATIVE		**present**	**imperfect**
sing.	1st	δείκνῡμι	ἐδείκνῡν
	2nd	δείκνῡς	ἐδείκνῡς
	3rd	δείκνῡσι(ν)	ἐδείκνῡ
plur.	1st	δείκνυμεν	ἐδείκνυμεν
	2nd	δείκνυτε	ἐδείκνυτε
	3rd	δεικνύᾱσι(ν)	ἐδείκνυσαν

		SUBJUNCTIVE	OPTATIVE	IMPERATIVE
sing.	1st	δεικνύω	δεικνύοιμι	
	2nd	δεικνύῃς	δεικνύοις	δείκνῡ
	3rd	δεικνύῃ	δεικνύοι	
plur.	1st	δεικνύωμεν	δεικνύοιμεν	
	2nd	δεικνύητε	δεικνύοιτε	δείκνυτε
	3rd	δεικνύωσι(ν)	δεικνύοιεν	

INFINITIVE	δεικνύναι
PARTICIPLE	δεικνύς, δεικνῦσα, δεικνύν
	δεικνύντος, δεικνύσης, δεικνύντος *etc.*

The middle-passive forms of δείκνυμι are given in the Reference Morphology. The other tenses of this verb are regular, with endings like those of παύω.

3. The verb λανθάνω with supplementary participle

Unlike many verbs used with a supplementary participle (Ch. 13.6), λανθάνω + participle sounds awkward when translated literally into English ('I escape notice doing X'). Because the participle describes the action and λανθάνω signifies that this action is not noticed, it is better to translate the participle as the main verb and λανθάνω as an adverbial modifier. There are several ways to express this in English.

λανθάνω literally means 'escape the notice (of)':

> οἱ πολέμιοι λανθάνουσι τοὺς φύλακας <u>φεύγοντες</u>.
> The enemy *flees* without the guards seeing them.
> The enemy *is fleeing* unbeknownst to the guards.

> οἱ πολέμιοι ἔλαθον <u>φυγόντες</u>.
> The enemy *fled* unnoticed.
> The enemy *fled* without being seen.

> οἱ πολέμιοι <u>φεύγοντες</u> οὐκ ἔλαθον τοὺς Ἀθηναίους.
> The Athenians were not unaware of the enemy *fleeing*.

Exercise 27.2.   Translate into English.

1. εἰς τὸν οἶκον ἰόντες τοὺς ἐχθροὺς λανθάνομεν.
2. τοῖς ὅπλοις σου χρησάμενος σὲ ἔλαθεν ἐκεῖνος;
3. ὁ παῖς οὔποτέ τι αἱρῶν τὸν πατέρα λανθάνει.
4. πῶς οἱ ἵπποι ἔλαθον τοὺς ἱππέας φυγόντες;

4. Directional adverbs and suffixes

Directional suffixes can be attached to adverbs, place names and a few other words:

-ι, -θι, -σι, -ου	at, in	place where
-δε, -σε	to, toward	place to which
-θεν	from	place from which

Some common examples are:

ἔνθα	ἐνθάδε	
there	to this / that place	

ἐνταῦθα		ἐντεῦθεν
here, there		from here / there

ὅπου	ὅποι	ὁπόθεν / ὅθεν
where	to where	from where

οἴκοι	οἴκαδε	οἴκοθεν
at home	homeward	from home

Ἀθήνησι	Ἀθήναζε	Ἀθήνηθεν
at Athens	to Athens	from Athens

Fun fact: The fact that Ἀθήνας + δε is spelled Ἀθήναζε suggests that the letter ζ was, at least at one time, pronounced 'sd' / 'zd.'

Based on vocabulary you already know, knowledge of these suffixes can help you guess the meanings of other words:

ἄλλοθι	ἄλλοσε	ἄλλοθεν
elsewhere	to somewhere else	from elsewhere

ἔνδοθι, ἔνδον		ἔνδοθεν
within		from within

πανταχοῦ	πανταχόσε	πανταχόθεν
everywhere	in all directions	from everywhere

αὐτοῦ	αὐτόσε	αὐτόθεν
there, in the very place	to there	from there

EXERCISE 27.3.   Translate into English.

1. εἰ ἐνθάδε δεῖ ἰέναι, ἡδέως ἂν ὑμῖν δείξαιμεν βραχίονα ὁδόν.
2. τὸν μὲν νοῦν πολλῶν δεινότερος ἦν ὁ Σωκράτης, ἐχθρὸς δέ τισιν ἦν.
3. τοῦ βασιλέως ἀπόντος, οἱ οἰκοῦντες ταύτην τὴν χώραν ἄλλοσε οὐκ ἦσαν.
4. τοὺς γέροντας μνήσωμεν ἃ ὑπὲρ τῆς πατρίδος δεδράκαμεν.
5. πάντες οἱ πολῖται Ἀθήναζε ἐντεῦθεν ἑπτὰ ἡμερῶν ἴασιν.
6. οἱ μὲν ἐν τῇ θαλάττῃ ἀπόλλυνται, οἱ δὲ κατὰ γῆν ἀσφαλώτατα πορεύονται.
7. ὑμῖν τοῦτο δεικνύναι βούλομαι, ὅτι τὰ πεπραγμένα αὐτῷ αἰσχρὰ ἦν.
8. φοβεῖ μὴ ὁ παῖς οἴκοθεν ἀπίῃ ἵνα ποιητὴς γιγνόμενος λανθάνῃ;
9. οὐκ οἶδα εἰ μέμνησαι ποῖα ἔφη ὁ σὸς πατήρ.
10. τοῖς οἴκαδε ἤδη ἰοῦσιν οὐχ ἕψεσθαι μέλλομεν.

EXERCISE 27.4.   Translate into Greek.

1. Do you plan to stay at home or go to the marketplace?
2. If he should show me the island, I would be able to establish my ships there.
3. All those who lived in that village were hostile to us until we gave them gifts.
4. We should sacrifice before you (pl.) go there.
5. I might go home and live beside the sea for one year.

READING 1: The Charges against Socrates (Xenophon, adapted)

Xenophon, a student of Socrates, discusses the charges brought against his teacher.

Πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ᾽ αὐτοῦ τοιάδε τις ἦν· Ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων.

Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ ποτ᾽ ἐχρήσαντο τεκμηρίῳ; ἔθυε γὰρ φανερῶς πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν.

Vocabulary:

βωμός, -οῦ, ὁ	altar	Σωκράτην (*acc.*)	= Σωκράτη
καινός, -ή, -όν	new, newly invented	τεκμήριον, -ου, τό	proof
		φανερῶς	openly

READING 2: Helen and Menelaus in Egypt (Euripides)

Menelaus, disguised as a beggar, has arrived in Egypt and reunited with his wife Helen. The two discuss how to escape from the local king, who thinks Menelaus died in the Trojan war and wants to marry Helen himself.

Μενέλεως	δρῶντας γὰρ ἢ μὴ δρῶντας ἥδιον θανεῖν.
Ἑλένη	μί᾽ ἔστιν ἐλπίς, ἧ μόνῃ σωθεῖμεν ἄν.
...	
	εἰ μὴ τύραννός σ᾽ ἐκπύθοιτ᾽ ἀφιγμένον.
Μενέλεως	ἐρεῖ δὲ τίς μ᾽; οὐ γνώσεταί γ᾽ ὅς εἰμ᾽ ἐγώ.

Vocabulary:

γ᾽	= γε, at least; certainly	ἐρῶ (*fut.*)	speak of
ἐκπυνθάνομαι	learn	Μενέλεως, -εω, ὁ	Menelaus
Ἑλένη, -ης, ἡ	Helen	τύραννος, -ου, ὁ	king

PRACTICE SENTENCES

1. χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·   (Sophocles)
    κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

2. ἐνταῦθα ἔμεινεν ὁ Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν·   (Xenophon)
    οἱ γὰρ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω·
    ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα ἰέναι.

3. ὅ τι ἂν ἀγαθὸν πράσσῃς, εἰς θεοὺς ἀνάπεμπε.   (Diogenes Laertius)

4. οὐκ ἰέναι ἤθελε, πρὶν ἢ γυνὴ αὐτὸν ἔπεισε.   (Xenophon, adapted)

5. ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε   (Plato)
    πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ᾽ οὔ· κἄπειτα
    ἐπειρώμην αὐτῷ δεικνύναι ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ᾽ οὔ.

6. λέξαι θέλω σοι πρὶν θανεῖν ἃ βούλομαι.   (Euripides)

7. ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.   (Menander)

Vocabulary:

ἀναπέμπω	refer	Κῦρος, -ου, ὁ	Cyrus
κἂν	= καὶ ἐν	τοῦ πρόσω	forward
κἄπειτα	= καὶ ἔπειτα	ὑποπτεύω	suspect

Chapter 27 Vocabulary (11)

Verbs:

ἀπόλλυμι, ἀπολῶ, ἀπώλεσα / ἀπωλόμην,   destroy, kill; lose; (*mid.*) die
   ἀπόλωλα
   also ὄλλυμι, ὀλῶ, ὤλεσα / ὠλόμην,
     ὄλωλα
δείκνυμι, δείξω, ἔδειξα, δέδειχα,   show, point out, reveal
   δέδειγμαι, ἐδείχθην
εἶμι   go
λανθάνω, λήσω, ἔλαθον, λέληθα,   escape notice
   λέλησμαι
οἰκέω, οἰκήσω, ᾤκησα,   live in, inhabit; occupy
   ᾤκηκα, ᾤκημαι, ᾠκήθην

Noun:

οἶκος, οἴκου, ὁ   house, home; family
   οἴκαδε   homeward
   οἴκοθεν   from home
   οἴκοι   at home

Pronoun:

τοιόσδε, τοιάδε, τοιόνδε   such as this (*as follows*)

Adverbs:

ἐκεῖ   there
ἔνθα   there; then; where; when
   ἐνθάδε   to this / that place; here; there
ἐνταῦθα   here, there
   ἐντεῦθεν   from here, from there
ὅθεν   from where, whence

CHAPTER 28

Particles / Signposts for narrative reading

Particles in Greek are like gestures and shrugs written on a page. They are little words that convey how the speaker feels about what he is saying. Often they appear in combination with each other or with other words. This overview is intentionally simplistic, but may provide a useful resource as you begin to read longer texts.

You have already seen how some words, even those that aren't translated, can give important signals about what to expect in a sentence:

ἄν (Ch. 10, 21)		marks impossibility (+ *indic.*) or possibility (+ *opt.*)
γάρ (Ch. 6)	for	marks an explanation of what has just been said
δή (Ch. 14)	indeed, really	gives greater exactness to a word or words
μέν (... δέ) (Ch. 6, 8)		anticipates a connection and contrast of parallel words or phrases
οὖν (Ch. 7)	so, therefore; in fact	continues or resumes a narrative; confirms something

Here are some other common words of this type that are helpful to know. The ones underlined are used in the readings in this chapter (e.g. Reading 1 οἱοίπερ, ἥνπερ); they are not given in the reading vocabularies.

ἄρα	therefore, then	draws an inference
<u>αὖ</u>, <u>αὖθις</u>	again, in turn; on the other hand	
γε (*encl.*)	indeed; at least, at any rate	emphasizes the previous word or words
ἦ	truly	emphasizes what follows
καίτοι	and indeed, and yet	
μέντοι	however; of course	
οὐκοῦν	surely then	invites agreement with an inference
που (*encl.*)	somewhere; I suppose, perhaps	qualifies an assertion
<u>πως</u> (*encl.*)	somehow, in some way, in any way	
<u>τοίνυν</u>	therefore, accordingly; further, moreover	inferential; transitional

The following particles are not translated, but are very common:

ἆρα	introduces a question
μήν	emphasizes preceding particle
<u>-περ</u> (*encl.*)	added to pronouns and other particles for emphasis

The rest of this chapter presents a selection of somewhat longer readings from different authors. Most are in Attic Greek, the dialect taught in this book, and are not adapted from the original. The Herodotus passages, slightly adapted, are in Ionic Greek.

Reading 1: A Murder Trial (Lysias)

This is the beginning of a defense speech for a man on trial for murder. The defendant discovered his wife was having an affair with a man named Eratosthenes and killed him. The defendant begins by asking the jury to put themselves in his place.

περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ ἄνδρες, τὸ τοιούτους ὑμᾶς ἐμοὶ
δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοίπερ ἂν ὑμῖν αὐτοῖς
εἴητε τοιαῦτα πεπονθότες· εὖ γὰρ οἶδ᾽ ὅτι, εἰ τὴν αὐτὴν γνώμην περὶ
τῶν ἄλλων ἔχοιτε, ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη ὅστις οὐκ ἐπὶ
5 τοῖς γεγενημένοις ἀγανακτοίη, ἀλλὰ πάντες ἂν τὰς ζημίας μικρὰς
ἡγοῖσθε. καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ᾽ ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ᾽
ἐν ἁπάσῃ τῇ Ἑλλάδι. ...

ἡγοῦμαι δέ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν
Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν καὶ ἐκείνην τε διέφθειρε καὶ τοὺς
10 παῖδας τοὺς ἐμοὺς ᾔσχυνε καὶ ἐμὲ αὐτὸν ὕβρισεν εἰς τὴν οἰκίαν τὴν
ἐμὴν εἰσιών, καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν πλὴν ταύτης,
οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος
γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενὸς πλὴν τῆς κατὰ τοὺς νόμους
τιμωρίας.

15 ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα,
οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ· ταύτην γὰρ ἐμαυτῷ μόνην
ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν ἅπαντα δυνηθῶ τὰ πεπραγμένα.

Vocabulary:

ἀγανακτέω	be vexed, upset	πένης, -ητος, ὁ	poor man
αἰσχύνω	shame	περὶ πολλοῦ	consider of great
γεγενημένοις (*line 4*)	refers to the adultery	ποιέομαι	importance
		πλήν (+ *gen.*)	except
δικαστής, -οῦ, ὁ	judge, juror	πλούσιος, -α, -ον	rich
δυνηθῶ	*1 sg. aor. pass. subj. of* δύναμαι	σωτηρία, -ας, ἡ	guarantee of safety
εἴη ... ἐγνωσμένα	*3 pl. pf. pass. opt.*	τἀληθῆ	= τὰ ἀληθῆ
Ἐρατοσθένης, -ους, ὁ	Eratosthenes	τιμωρία, -ας, ἡ	punishment
ἔχθρα, -ας, ἡ	hatred, hostility	ὑβρίζω	commit an
ζημία, -ας, ἡ	penalty		outrage
κέρδος, ους, τό	profit, gain		against, insult
μοιχεύω	commit adultery with	ὑμᾶς (*line 1*)	subject of τὸ ... γενέσθαι

READING 2: Socrates' Defense – 1 (Plato)

In 399 B.C. Socrates was put on trial for corrupting the young men of Athens. The Apology *is his defense speech as reported by Plato; Meletus is Socrates' main accuser. In this part of the speech Socrates begins his defense by addressing the first charge against him.*

λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δέ πως ὧδε· Σωκράτη φησὶν
ἀδικεῖν τούς τε νέους διαφθείροντα καὶ θεοὺς οὓς ἡ πόλις νομίζει οὐ
νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν
ἐστιν· τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν.

5 φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ γε, ὦ ἄνδρες
Ἀθηναῖοι, ἀδικεῖν φημι Μέλητον. ... ὡς δὲ τοῦτο οὕτως ἔχει,
πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι. καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ· ἄλλο τι
ἢ περὶ πλείστου ποιῇ ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται;

Vocabulary:

ἀντωμοσία, -ας, ἡ	affidavit	καινός, -ή, -όν	new, newly invented
δεῦρο	'come here'		
ἔγκλημα, -ατος, τό	charge, accusation	Μέλητος, -ου ὁ	Meletus
ἓν ἕκαστον	each individual point	περὶ πλείστου ποιέομαι	consider of the greatest importance
ἐξετάζω	examine (closely)		
καί + *imper.*	now	πως ὧδε	'something like this'

Reading 3: Socrates' Defense – 2 (Plato)

In 399 B.C. Socrates was put on trial for corrupting the young men of Athens. At this point in the Apology (*his defense speech*) *he has been found guilty of the charges against him, and the penalty is being debated. Here Socrates tries to explain why exile from Athens would be pointless and why he believes he must continue questioning others.*

εὖ γὰρ οἶδ᾽ ὅτι ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ ἀκροάσονται οἱ
νέοι ὥσπερ ἐνθάδε. κἂν μὲν τούτους ἀπελαύνω, οὗτοί με αὐτοὶ
ἐξελῶσι πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων
πατέρες τε καὶ οἰκεῖοι δι᾽ αὐτοὺς τούτους.

5   ἴσως οὖν ἄν τις εἴποι· Σιγῶν δὲ καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ
οἷός τ᾽ ἔσῃ ἡμῖν ἐξελθὼν ζῆν; τουτὶ δή ἐστι πάντων χαλεπώτατον
πεῖσαί τινας ὑμῶν. ἐάντε γὰρ λέγω ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ᾽ ἐστὶν καὶ
διὰ τοῦτ᾽ ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ἐάντ᾽ αὖ λέγω ὅτι
καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας
10 περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι καὶ τῶν ἄλλων περὶ ὧν ὑμεῖς ἐμοῦ
ἀκούετε διαλεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος, ὁ δὲ
ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ, ταῦτα δ᾽ ἔτι ἧττον πείσεσθέ μοι
λέγοντι. τὰ δὲ ἔχει μὲν οὕτως, ὡς ἐγώ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ
ῥᾴδιον.

Vocabulary:

ἀκροάζομαι (+ *gen.*)	listen to	ἡσυχίαν ἄγω	keep quiet
ἀνεξέταστος, -ον	unexamined	ἴσως	perhaps
ἀπειθέω (+ *dat.*)	disobey	οἰκεῖος, -α, -ον	relative
βιωτός, -όν	worth living	ὅποι	wherever
διαλέγομαι	discuss, talk	πρεσβύτερος, -ου, ὁ	elder
ἐάντε, ἐάντ᾽	= ἐάν τε	σιγάω	be silent
ἐξελῶσι	*fut. of* ἐξελαύνω	τουτί	*strengthened*
ἐξετάζω	examine (closely)		*form of* τοῦτο
ἡμῖν	(*ethical dat.*) please		

READING 4: Alcestis' Death (Euripides)

Queen Alcestis has agreed to die in place of her husband Admetus. Her old nurse tells the Chorus that she is dying. This is the original passage on which the reading in Ch. 10 is based.

Χορός	ἀλλ᾽ ἥδ᾽ ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
	δακρυρροοῦσα· τίνα τύχην ἀκούσομαι;
	πενθεῖν μέν, εἴ τι δεσπόταισι τυγχάνει,
	συγγνωστόν· εἰ δ᾽ ἔτ᾽ ἐστὶν ἔμψυχος γυνὴ
	εἴτ᾽ οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ᾽ ἄν. 5
Θεράπαινα	καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.
Χορός	καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε καὶ βλέποι;
Θεράπαινα	ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ.
Χορός	ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.
Θεράπαινα	οὔπω τόδ᾽ οἶδε δεσπότης, πρὶν ἂν πάθῃ. 10
Χορός	ἐλπὶς μὲν οὐκέτ᾽ ἐστὶ σῴζεσθαι βίον;
Θεράπαινα	πεπρωμένη γὰρ ἡμέρα βιάζεται.

Vocabulary:

ἁμαρτάνω	be deprived of (+ *gen.*)	οὔπω	not yet
αὐτός	= ὁ αὐτός	πενθέω	mourn (for)
βιάζομαι	press hard	πόρω, ... πέπρωμαι	(*pass.*) be fated
βλέπω	see (the sun); be alive	προνωπής, -ές	drooping,
δακρυρροέω	weep		sinking
δεσπόταισι	= δεσπόταις	συγγνωστός, -ή, -όν	pardonable
δόμος, -ου, ὁ	(*pl.*) house	τλήμων, -ον	miserable (*refers
ἔμψυχος, -ον	breathing, alive		to Admetus*)
ἔστι	= ἔξεστι	χορός, -οῦ, ὁ	chorus
θεράπαινα, -ης, ἡ	nurse	ψυχορραγέω	be on the point
ὀπαδός, -οῦ, ἡ	attendant		of death

Reading 5: Jesus and a Storm at Sea (Gospel according to Matthew)

Jesus and his disciples encounter a storm at sea.

καὶ ἐμβάντι αὐτῷ εἰς πλοῖον ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.
καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον
καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδεν. καὶ
προσελθόντες ἤγειραν αὐτὸν λέγοντες, Κύριε, σῶσον, ἀπολλύμεθα.
5 καὶ λέγει αὐτοῖς, Τί δειλοί ἐστε, ὀλιγόπιστοι; τότε ἐγερθεὶς
ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη.
Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγοντες, Ποταπός ἐστιν οὗτος ὅτι καὶ οἱ
ἄνεμοι καὶ ἡ θάλασσα αὐτῷ ὑπακούουσιν;

Vocabulary:

ἀκολουθέω (+ *dat.*)	follow	καλύπτω	cover
ἄνεμος, -ου, ὁ	wind	κῦμα, -ατος, τό	wave
γαλήνη, -ης, ἡ	calm	κύριος, -ου, ὁ	lord
δειλός, -ή, -όν	cowardly	μαθητής, -οῦ, ὁ	student, disciple
ἐγείρω	waken	ὀλιγόπιστος, -ον	of little faith
ἐμβαίνω	board	πλοῖον, -ου, τό	ship
ἐπιτιμάω (+ *dat.*)	rebuke	ποταπός, -ή, -όν	of what sort
θάλασσα, -ης, ἡ	= θάλαττα	σεισμός, -οῦ, ὁ	*here* 'storm'
ἰδού	behold!	ὑπακούω (+ *dat.*)	obey
καθεύδω	sleep		

Ionic Greek

The Ionic dialect differs from Attic in several minor ways. The following common features of Ionic appear in the Herodotus readings:

- η even after ε, ι, and ρ, as a result of the Great Vowel Shift in early Greek from original ᾱ (Ch. 3.4); in Attic, this shift did not take place after ε, ι, and ρ
  πρήγματα (Attic πράγματα)

- σσ in words like θάλασσα
  πρήσσοντα (Attic πράττοντα)

- ε contract forms are not contracted
  ἐοῦσα, ἐδόκεε (Attic οὖσα, ἐδόκει)

- the preposition 'to, into' is ἐς (Attic εἰς)

READING 6: Polycrates and the Ring – 1 (Herodotus, adapted)

Polycrates who ruled the island of Samos (c. 538–522 B.C.) made a friendly alliance with Amasis, the pharaoh of Egypt (570–526 B.C.). In this story Amasis tries but fails to prevent Polycrates' great good luck from leading him to a bad end.

ὁ Πολυκράτης ξεινίαν Ἀμάσι τῷ Αἰγύπτου βασιλεῖ συνέθηκατο,
πέμπων τε δῶρα καὶ δεχόμενος ἄλλα παρ' ἐκείνου. ἐν χρόνῳ δὲ ὀλίγῳ
αὐτίκα τοῦ Πολυκράτεος τὰ πρήγματα ηὔξετο· καί κως τὸν Ἄμασιν
εὐτυχέων μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανε, ἀλλά οἱ τοῦτ' ἦν
5 ἐπιμελές. γράψας ὦν ἐς βυβλίον τάδε ἔπεμψεν ἐς Σάμον. Ἡδὺ μὲν
πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ
μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, ἐπισταμένῳ ὡς οἱ θεοὶ φθονεροί
εἰσιν· οὐδένα γὰρ οἶδα ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε, εὐτυχέων
τὰ πάντα. σύ νυν ἐμοὶ πειθόμενος ποίησον τοιάδε· φροντίσας τὸ ἂν
10 εὕρῃς τῶν σῶν πλείστου ἄξιον τε καὶ φιλεόμενον, τοῦτο ἀπόβαλε.

ὁ Πολυκράτης νόῳ λαβὼν ὥς οἱ εὖ ὑπετίθετο Ἄμασις, φροντίσας τί
αὐτῷ ἦν πλείστου ἄξιόν τε καὶ φιλεόμενον, εὕρισκε δὲ τόδε. ἦν οἱ
σφρηγὶς χρυσόδετος, σμαράγδου λίθου ἐοῦσα. ἐπεὶ ὦν ταύτην οἱ
ἐδόκεε ἀποβαλεῖν, ἐποίεε τοιάδε· ἐσέβη ἐς ναῦν, ὡς δὲ ἀπὸ τῆς νήσου
15 ἑκὰς ἐγένετο, τὴν σφρηγῖδα ῥίπτει ἐς τὴν θάλασσαν.

Vocabulary:

Αἴγυπτος, -ου, ἡ	Egypt	Πολυκράτης, -εος, ὁ	Polycrates
Ἄμασις, -ιος, ὁ	Amasis	ῥίπτω	throw, hurl
ἀρέσκω (+ *dat.*)	please	Σάμος, -ου, ἡ	Samos
αὐξάνομαι,	increase, grow	σμαράγδος, -ου, ἡ	emerald
aor. ηὐξάμην		συντίθεμαι	agree to
βυβλίον, -ου, τό	papyrus strip	σφρηγίς, -ῖδος, ἡ	ring
ἑκάς	far away	τό (*line 7*)	= ὅ
ἐπιμελής, -ές	of concern	ὑποτίθημι	advise,
ἐπίσταμαι	know		admonish
εὐτυχέω	have good luck		
εὐτυχία, -ας, ἡ	good fortune	φθονερός, -ή -όν	jealous
κως	= πως	φροντίζω	consider
νυν	so	χρυσόδετος, -ον	set in gold
ξεινία, -ας, ἡ	guest-friendship	ὦν	= οὖν
οἱ	= αὐτῷ		

Reading 7: Polycrates and the Ring – 2 (Herodotus, adapted)

πέμπτη δὲ ἢ ἕκτη ἡμέρῃ ἀπὸ τούτων, ἀνὴρ ἁλιεὺς λαβὼν ἰχθὺν μέγαν
τε καὶ καλὸν ἠξίου μιν Πολυκράτει δῶρον δοθῆναι. φέρων δὴ ἔλεγε
διδοὺς τὸν ἰχθύν· ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν οὐκ ἐδικαίωσα φέρειν ἐς
ἀγορήν, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς. ὁ δὲ
5   ἡσθεὶς ἀποκρίνεται· κάρτα τε εὖ ἐποίησας καὶ χάρις διπλῆ τῶν τε
λόγων καὶ τοῦ δώρου. τὸν δὲ ἰχθὺν τάμνοντες οἱ θεράποντες
εὑρίσκουσι ἐν τῇ νηδύι αὐτοῦ ἐνεοῦσαν τὴν Πολυκράτεος σφρηγῖδα.
ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον παρὰ τὸν Πολυκράτεα. ὁ δὲ
γράψας ἐς βυβλίον πάντα τὰ γενόμενα ἐς Αἴγυπτον ἔπεμψεν.
10   ἐπιλεξάμενος δὲ ὁ Ἄμασις ἔμαθε ὅτι ἐκκομίσαι τε ἀδύνατον εἴη
ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος.

Vocabulary:

ἁλιεύς, -ῆος, ὁ	fisherman	θεράπων, -οντος, ὁ	servant
βυβλίον, -ου, τό	papyrus strip	ἰχθύς, -ύος, ὁ	fish
γίνεσθαι	= γίγνεσθαι	κάρτα	very (much)
δικαιόω	think it right	μιν	= αὐτόν
διπλοῦς, -ῆ, -οῦν	twofold	νηδύς, -ύος, ἡ	belly
εἴη	*opt. can replace indic. in some constructions*	Πολυκράτης, -εος, ὁ	Polycrates
		σεῦ	= σοῦ
		σφρηγίς, -ῖδος, ἡ	ring
ἐκκομίζω	keep (someone) out	τάμνω	cut
ἐπιλέγομαι	read	ὡς ... τάχιστα	as soon as

Extracises Greek–English

3.1   ἄνθρωπος τέκνα διδάσκει.

3.2   ἵππους καὶ δῶρα πέμψω.

3.3   τέκνα πείθεις;

3.4   δῶρα πέμπει ξένοις.

3.5   τέκνα θεᾷ θαλάττης θύει.

3.6   κώμην βλάψομεν.

4.1   καὶ οἱ Πέρσαι τῇ τῆς θαλάττης θεᾷ θύουσιν.

4.2   ἔργα τῶν νεανιῶν τοὺς φίλους οὐ βλάπτει.

4.3   τὸν ἵππον πρὸς τῇ ἀγορᾷ λύει.

4.4   ὦ πολῖται, τὸν λόγον ἀεὶ διδάξομεν.

4.5   οἱ στρατιῶται τὴν κώμην οὐ βλάψουσιν, ἀλλὰ πρὸς τὸν ποταμὸν στρατεύσουσιν.

4.6   ἐκ τῆς ὁδοῦ τοὺς ἵππους διώξομεν.

4.7   οἱ πολῖται νῦν τοὺς Πέρσας καὶ διώκουσι καὶ λύουσιν.

4.8   καὶ ἐν ταῖς Ἀθήναις ὁ λόγος οὐκ ἀεὶ πείθει.

5.1   τίνες πρὸς τῇ ὁδῷ ἐφύλαττον;

5.2   μετὰ τῶν φίλων ἐν ταῖς Ἀθήναις εὖ πράξομεν.

5.3   τῷ Πέρσῃ νῦν πιστεύεις ἢ οὔ;

5.4   ὁ στρατηγὸς τὸν θάνατον διὰ τοὺς θεοὺς ἔφυγεν.

5.5   τίς τὸν ἵππον ἐν τῇ οἰκίᾳ ἔλιπεν;

5.6   τίνας οἱ θεοὶ καὶ θεαὶ σώσουσιν;

5.7   τοὺς ἵππους οἱ στρατιῶται ἐφύλαττον ἐν τῇ νήσῳ.

5.8   ὦ πολῖτα, ὁ νεανίας τῶν Ἀθηνῶν εὖ βασιλεύσει;

6.1   ὁ στρατηγὸς τῶν ἀνθρώπων τινὰς ἔσωσεν;

6.2   ἡ σοφὴ τὰ μὲν τέκνα εὖ ἔπραξε, τοὺς δὲ ἵππους οὔ.

6.3   τί ἔλεγεν ὁ Ἀθηναῖος περὶ τῶν βαρβάρων;

6.4   τίς μετὰ τὸν πόλεμον τῶν Περσῶν ἐβασίλευεν;

6.5   οὔτε οἱ κακοὶ οὔτε οἱ δίκαιοι τὸν θάνατον φεύγουσιν.

6.6   μακραὶ αἱ ἡμέραι ἐν τῇ νήσῳ.

6.7   τίνος τὸν βίον οἱ Ἀθηναῖοι σώσουσιν ἐν τῷ χαλεπῷ πολέμῳ;

6.8   ὅ τε στρατηγὸς καὶ ὁ ἀδελφὸς τοὺς καλοὺς ἵππους ἐδίωξαν.

7.1   οἱ σοφοὶ ἀγαθοὶ ἡγεμόνες εἰσίν.

7.2   τίς ὕδωρ τῷ φύλακι οἴσει;

7.3   τὰ τῆς πατρίδος ὁ δίκαιος ἡγεμὼν πράττει.

7.4   τοῖς τότε χαλεπὰ ὅπλα ἦν.

7.5   τίνος ἀδελφὸς τοὺς ξένους ἦγε διὰ τῆς πολεμίας χώρας;

7.6   τοῖς κήρυξι τῶν Ἑλλήνων τινὲς οὐκ ἐπίστευον.

7.7   τὸ πρᾶγμα τοῖς Ἀθηναίοις τιμὴν φέρει.

7.8   τῶν ἀνθρώπων τινὲς τοὺς σὺν τῷ ἡγεμόνι φίλους ὠνόμασαν.

8.1   ἐπείσαμεν τοὺς πολεμίους τῷ στρατηγῷ μὴ πιστεύειν.

8.2   ὁ ἡγεμὼν τοὺς νεανίας ὕδωρ ἐνεγκεῖν κελεύει.

8.3   καὶ ἐν πολέμῳ πᾶς ἄνθρωπος τὸν βίον σῶσαι ἐθέλει.

8.4   ὁ ἀδελφὸς ἦν ὁ ἄρχων καὶ τῆς πάσης πατρίδος τότε ἦρχεν.

8.5   τίνες τὰς δέκα καμήλους πάλιν ἄξουσιν;

8.6   ὁ μὲν πείσει τοὺς πολίτας τοῖς ὅπλοις, ὁ δὲ τοῖς δώροις.

8.7   τῷ σοφῷ ποιητῇ τιμή ἐστι διὰ τοὺς καλοὺς λόγους.

8.8   διὰ τὸν πόλεμον τοῖς μὲν πολίταις ἐπιστεύσαμεν, τοῖς δὲ βαρβάροις οὔ.

9.1   ἐγὼ καὶ σὺ τὰ τῆς μητρὸς ἐκ πυρὸς λαμβάνομεν καὶ πάντα τὰ ἐν τῇ οἰκίᾳ
         σώσομεν.

9.2   ὁ πατὴρ ὑμῶν αὐτὸς τὸ αὐτὸ ἀεὶ ἤθελεν.

9.3   δίδασκε πάντα τὰ περὶ τῆς Ἑλλάδος.

9.4   ὦ παῖ, μήποτε λάμβανε τὰ ἄλλου.

9.5   τοὺς ἄλλους ἵππους πάλιν πρὸς τὰς Ἀθήνας ἤγαγες;

9.6   ἡμεῖς τὰς αὐτὰς γυναῖκας τῆς νυκτὸς φυλάττειν ἐπείσαμεν.

9.7   τοῖς μὲν βαρβάροις χαλεπὰ ὅπλα ἦν, οἱ δὲ Ἕλληνες αὐτοὶ τὴν πατρίδα
         ἔσωσαν.

9.8   εἷς ποιητὴς περὶ τῶν τότε Ἀθηναίων καλὰ γράψει.

10.1   εἰ τὸν βάρβαρον πρὸς τοὺς ἄρχοντας ἤγαγες, κακῶς ἂν αὐτὸν ἐποίησαν.

10.2   τίς ἡμῖν βοηθῆσαι ἐθέλει; μέγα γὰρ τὸ ἔργον ἡμῶν ἐστιν.

10.3   εἴ τι ὁρᾷς, λέγε τι.

10.4   ἐπειδὴ οὐδεὶς ἄλλος ὑμῖν ἐπίστευσεν, ὁ ἄρχων ὑμᾶς φίλους τε καὶ συμμάχους
         ἐκάλεσεν.

10.5   τοὺς θεοὺς τιμήσομεν ὅτι τὴν εἰρήνην νῦν ἔχομεν.

10.6   ἐμὲ μὲν οἱ πολῖται αὐτοὶ ἐτίμων, ὑμᾶς δ᾽ οὔ.

10.7   εἰ τοῦ ἀδελφοῦ μήποτε ἤκουες, ὁ πατήρ σου τάλας ἂν ἦν.

10.8   οὐδεὶς ἐν τῇ νήσῳ αὐτῇ ἕζη.

11.1   οἱ μὲν πολῖται ἐν ταῖς Ἀθήναις ἔμειναν, οἱ δὲ βάρβαροι πρὸς τὴν θάλατταν ἔφυγον.

11.2   ἡ θεὰ αὐτὴ ἐκέλευσε τὸν φύλακα διώκειν τε καὶ λαμβάνειν αὐτούς.

11.3   ὁ Χενοφῶν τοὺς ἄνδρας, ὧν τὴν γῆν ἐνίκησεν, οὐκ ἀποκτενεῖ.

11.4   ἐν τῇ οἰκίᾳ τῆς ἡμέρας ἐμείναμεν ἐπεὶ ὁ πατὴρ ἡμῶν ἀπέθανεν.

11.5   τῇ αὐτῇ θεᾷ ἢ τῇ πάσῃ χώρᾳ ἐβοήθει θῦσαι ἠθέλησα.

11.6   εἰ οἱ στρατιῶται σοφοὶ ἦσαν, τὰ τείχη τῆς νυκτὸς ἂν ἐφύλαττον.

11.7   ὦ παῖ, ἀεὶ λέγε τὰ ἀληθῆ.

11.8   τίς ἔπεισε τοὺς σὺν τῷ ἄρχοντι ἀποφυγεῖν ἀπὸ τῆς θαλάττης;

12.1   ὅτε εἰσῆλθεν ἡ μήτηρ, τοὺς παῖδας ἐκάλεσεν.

12.2   τοὺς ἱππέας οἳ τὰ τείχη διέφθειραν τιμήσομεν.

12.3   μέλλετε ἀποκτενεῖν πάντας τοὺς Πέρσας οὓς ἐλάβετε;

12.4   ἡγούμεθα τοὺς συμμάχους εὖ τῷ βασιλεῖ συμβουλεῦσαι· χάριν οὖν αὐτοῖς ἔχομεν.

12.5   ἐκέλευσα τοὺς πολλοὺς τὰ χρήματα λιπεῖν καὶ ἐκ τοῦ ἄστεως ἐκφυγεῖν.

12.6   πᾶς βασιλεὺς νομίζει μεγάλην δύναμιν ἐν τῇ φύσει ἔχειν.

12.7   τοὺς ψευδεῖς λόγους τοὺς παῖδας διαφθεῖραι οὐ βουλόμεθα.

12.8   ὁ κῆρυξ ἡγεῖται τὸν στρατηγὸν αὐτὸν γράψαι ἐπιστολὴν περὶ τῆς τοῦ παιδὸς φύσεως.

13.1   (τὴν) εἰρήνην ζητοῦντες, οἱ ἡγεμόνες ὑμῶν εὖ ἐβούλευον.

13.2   οὐ πάντες οἱ Ἀθηναῖοι ὡμολόγουν τὸν Σωκράτη ἄξιον θανάτου εἶναι.

13.3   πολλοὶ μὲν τάλανές εἰσιν, ὁ δὲ τὴν ἐλπίδα ἔχων εὐδαίμονα βίον ζῇ.

13.4   ὁ βασιλεὺς τοῦ ἀξίου ποιητοῦ ἀκούων χαίρει.

13.5   νομίζεις τὸν νόμον πάντας τοὺς ἀδικοῦντας κακῶς ποιεῖν;

13.6   οἱ ξένοι εἰς τὴν μεγάλην πόλιν ἐλθόντες πολλοὺς φίλους τέλος ηὗρον.

13.7   οἱ σύμμαχοι ἡμῶν τὰ τῶν πολεμίων σώματα ἐκ τῆς ἀγορᾶς φέρειν ἤθελον.

13.8   αὐτὴν μὲν σώφρονα εἶναι ἡγούμεθα, αὐτὸν δ᾽ οὔ.

14.1   τούτων τῶν γυναικῶν τέλος ἀσφαλῶν οὐσῶν, μάλιστα ἐχαίρομεν.

14.2   τοῖς στρατιώταις βραχεῖα ἡ πρὸς τὸν θάνατον ὁδός.

14.3   ἐκεῖνος παιδὰς πολλοὺς ἔτρεφεν, ἡμῶν ἀπόντων.

14.4   τί ἐγένετο ἐπεὶ καμήλου ἐν τῇ ὁδῷ ἔτυχες;

14.5   ὅδε ὁ ἡγεμὼν δίκῃ τε καὶ τέχνῃ ἐκείνης τῆς πόλεως ἄρχει.

14.6   οὔποτε πυνθανόμενος παύσομαι.

14.7   οὗτοι οἱ παῖδες τῷ ὄντι μέγα ἄδικον ἐποίησαν.

14.8   τοῖσδε δὴ μόνοις τέχνη μεγάλη ἦν.

15.1   οὐδέν μοι διαφέρει εἰ οἱ Λακεδαιμόνιοι πάρεισιν ἢ οὔ.

15.2   τὴν δύναμιν ἐθαυμάζομεν τὴν τῶν ἱππέων οἳ πολλὰ πράττειν ἀγαθοὶ ἦσαν.

15.3   τὰ ἀληθῆ ὑπό τινος μετὰ πολλὰ ἔτη εὑρεθήσεται;

15.4   ἔστι σοφός τις ἀνὴρ ὃς τὰ ὑπὸ τῆς γῆς πάντα ἀεὶ ζητεῖ.

15.5   τῶν θεῶν ἐθελόντων, ἡ πόλις ὑμῶν τέλος σωθήσεται.

15.6   τί οὗτος ὑπὸ τῶν ἱππέων τότε ἐδιώχθη;

15.7   τὸ τοῦ δεσπότου γένος ὑπὸ πάντων ἐθαυμάσθη.

15.8   τόνδε τὸν τρόπον πάντα διαφέρεται.

15.9   ὦ φίλοι τε καὶ παῖδες, ἐμοὶ τὸ τοῦ βίου τέλος νῦν πάρεστιν.

15.10 ἀγαθὰ πᾶσι τοῖς πολίταις τέλος ἠγγέλθη.

16.1   ἐκεῖνος ὁ Λακεδαιμόνιος διὰ τὸν ἥλιον πόνους πολλοὺς τὴν κεφαλὴν ἔπασχεν.

16.2   τί ἐπαύσω τῷ δεσπότῃ συμβουλεύων;

16.3   ὁ κῆρυξ ἀπεκρίνατο ὅτι πολλὰ κακὰ ἐν τῇ ὁδῷ διήνεγκεν.

16.4   οἱ πολέμιοι χρόνου βραχέος δέκα στάδια ἐπορεύσαντο.

16.5   ἐκρίνατε τούτους τοὺς ξένους ἔτι φιλίους εἶναι;

16.6   οὗτος ὁ δεσπότης εἶπεν ὡς ὁ μὲν ἀδελφὸς ἄδικος ἦν, αὐτὸς δ’ οὔ.

16.7   οὐκ ἐμέλλομεν ἐκείνῳ τῷ τρόπῳ ἀποκρινεῖσθαι.

16.8   τῆς νυκτὸς ἀπό τινος ἐπυθόμην τοὺς πολεμίους εἰς τὸ ἄστυ εἰσβαλόντας.

16.9   οἱ Λακεδαιμόνιοι τοῖς ἰσχυροῖς πολεμίοις μάχεσθαι οὐκ ἐφοβοῦντο.

16.10 εἶπε ὅτι ἡμεῖς ὑπὸ τῷ ὄρει ὕδωρ ἡδὺ καὶ φιλίους ἄνδρας εὑρήσομεν.

17.1   τὴν Ἑλλάδα εὐθὺς λείψειν ἐλπίζομεν, μένειν γὰρ χαλεπόν ἐστι διὰ τὸν πόλεμον.

17.2   τίς τοὺς κριτὰς τοὺς κακὰ πράττοντας κρινεῖ;

17.3   ὁ στρατιώτης τὴν πᾶσαν ἡμέραν ἔστη πρὸς τὸν ἥλιον.

17.4   διὰ τοῦτο ἡμῖν τοὺς νόμους ἔθεσαν οἱ ἄρχοντες.

17.5   τίσι τὰ χρήματα δώσομεν ἐπεὶ / ἐπειδὴ τοῦτο ἐπράχθη;

17.6   ὁ ποιητὴς ταῦτα γράφων ἤρξατο ὅτε νέος ἦν.

17.7   δοκεῖ γάρ μοι χρῆναι ἀπ’ αὐτῶν ἐκεῖνα πυνθάνεσθαι.

17.8   οἱ Λακεδαιμόνιοι διδόασιν ἡμῖν τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰς νήσους ἡμῶν.

17.9   ἵστασθαι τε καὶ μάχεσθαι ἐφοβεῖσθε τῶν πολεμίων τῆς νυκτὸς προσβαλλόντων;

17.10 τοῖς Ἕλλησι νόμος ἦν τοὺς νικήσαντας δώροις τιμῆσαι.

18.1   ὁ τοῦ δεσπότου υἱὸς οὕτω ἰσχυρός τε καὶ ἀγαθὸς ἦν ὥστε οὔποτε ἐφοβεῖτο.

18.2   οὕτω δυνατὸς ἐκεῖνος ὁ βασιλεὺς ἐγένετο ὥστε πάντες οἱ ἐν τῇ χώρᾳ ἐφοβοῦντο.

18.3   καταθέντες τὰ ὅπλα παρὰ τῷ ποταμῷ, πῦρ ἐποιήσαμεν.

18.4   ὁ τάλας κῆρυξ τῷ πλήθει οὐκ ἀγγεῖλαι βούλεται τὴν πόλιν λυθεῖσαν.

18.5   οἱ φίλοι ἐμὲ τιμῇ ἐδέξαντο εἰς τὰς Ἀθήνας ἀφικόμενον.

18.6   ᾐσθόμην καὶ τοὺς ἰσχυροὺς ἄνδρας λέοντας φοβουμένους.

18.7   ὁ στρατηγὸς ἐπύθετο τοὺς Λακεδαμονίους πᾶσαν τὴν νύκτα πορευσαμένους.

18.8   ἡδὺ δή ἐστι τοῖς νέοις φίλοις ἀλλήλους εὑρεῖν.

18.9   οἱ Πέρσαι νικηθέντες ἔφυγον.

18.10 θέλομεν καλῶς ζῆν πάντες ἀλλ᾿ οὐ δυνάμεθα.

19.1   οἱ Ἕλληνες ἐλάττονα χώραν ἔχουσιν ἢ οἱ βάρβαροι.

19.2   οἱ Ἕλληνες ἐλάττονα χώραν ἔχουσι τῶν βαρβάρων.

19.3   ἔγνωμεν δὴ ὡς ἰσχυρότερον οὐδέν ἐστι τοῦ λόγου.

19.4   τίς δεινότερος λέγειν ἦν ἢ ὁ Σωκράτης;

19.5   εἰ αἱ τῶν πολεμίων νῆες θάττονες ἦσαν τῶν ἡμετέρων, οὐκ ἂν ἐνικήσαμεν αὐτούς.

19.6   πείθεσθαι δεῖ τῷ θεῷ ἢ τῷ βασιλεῖ;

19.7   ἐκεῖνος ὁ κῆρυξ, τάχιστος ὤν, τῇ αὐτῇ ἡμέρᾳ παρῆν.

19.8   στήσομαι παρὰ τῷ ἐμῷ ἀδελφῷ καὶ τοῖς τῶν Περσῶν ἀρίστοις μαχοῦμαι.

19.9   ἔπειτα εἰς τὴν πόλιν τὸν ἕτερον παῖδα ζητῶν ἔβην.

19.10 πρῶτον μὲν ταῦτα πράξομεν, εἶτα δ᾿ ἐκεῖνα.

20.1   τίνι θεῷ θύωμεν, τοῦ πολέμου νικηθέντος;

20.2   μήποτε χρήματα ἀπὸ κακίονος ἀνδρὸς ἡδέως δέχου.

20.3   τὴν εἰρήνην νῦν ποιήσωμεν πρὸς τὰς Ἀθήνας;

20.4   οἱ πολῖται ὡς πλείστοις παισὶ βοηθῆσαι ἐβούλοντο.

20.5   τῶν Περσῶν ὡς ἰσχυροτάτων ὄντων, ἀποβῶμεν μηδὲ μαχεσώμεθα.

20.6   οἱ μὲν τῆς ἀρετῆς τε καὶ τῆς ἀληθείας ἐπιμελοῦνται, οἱ δ᾿οὔ.

20.7   τῶν πολεμίων ἐγγὺς ὄντων, ὁ στρατηγὸς πλείονας φύλακας ἄνα τὴν πόλιν ἔστησεν.

20.8   ὅπλα ἀμείνονα ἐν ταῖς τῶν ἡμετέρων ἡγεμόνων χερσὶν θεῖναι δύναται;

20.9   νῦν σοφώτερ**ον** πράξωμεν ἢ πρότερον.

20.10 τῆς δόξης τῆς ἄλλων μὴ ἐπιμεληθῇς.

21.1   εἰ γὰρ ἡγεμόνα φίλιον ἐν τῇ ὁδῷ τύχοιμεν.

21.2   εἴθε ἡ πόλις ἀσφαλὴς νῦν ἦν.

21.3   οἱ Ἕλληνες καὶ οἱ βάρβαροι τὴν αὐτὴν γνώμην περὶ τῆς τῆς ψυχῆς φύσεως εἶχον;

21.4   ἡμεῖς τοῦ ἡλίου ἕνεκα ἐν τῇ οἰκίᾳ ἡμέραν πᾶσαν ἂν μένοιμεν.

21.5   εἰ γὰρ τοῦ σώφρονος φίλου ἤκουσας ἀντὶ τοῦ ἄλλου.

21.6   βασιλεὺς ἦν ποτε τῶν Περσῶν ὃς τὴν ἑαυτοῦ γυναῖκα μάλιστα ἐφίλει.

21.7   τοῖς μὴ ζητοῦσιν εὑρεῖν τι ἀδύνατόν ἐστιν.

21.8   αὕτη ἡ θεὰ ἀεὶ ὑμᾶς τε καὶ τοὺς παῖδας φυλάττοι.

21.9   τίς τοῦτον πάντων κριτῶν τὸν σοφώτατον οἴεται;

21.10   ἐν τῇ σεαυτοῦ οἰκίᾳ ἔτη πλεῖστα μένειν οἷός τ' εἴης.

22.1   ἐὰν μετὰ ὁδὸν μακρὰν εἰς τὸν ποταμὸν πόδας θῇς, ἥδει.

22.2   οὐδεὶς αὐτὸν τῷ ὄντι γιγνώσκει, εἰ μὴ σοφός ἐστιν.

22.3   εἴθε ἕκαστος ἄλλους βέλτιον πράξαι τῆς ψυχῆς ἕνεκα.

22.4   ἐὰν οἱ στρατιῶται μηκέτι καλῶς μάχωνται, τὴν πόλιν οὐδὲν σώσουσιν.

22.5   πρὸς τὴν χώραν ἐκείνην βήσετε ὅπως κρείττονας συμμάχους εὕρητε;

22.6   τῶν πολεμίων ἀπελθόντων, πάντας τοὺς θεοὺς οἳ ἡμῖν ἐβοήθησαν τιμῶμεν.

22.7   ἐὰν ἡ θεὰ ἡμῖν δύναμιν διδῷ, νικῶμεν καὶ ἅμα πολλὰ θύομεν.

22.8   ὁ νέος ἔχαιρεν τάχιστα ἐφ' ἵππου βῆναι δυνάμενος.

22.9   ὅστις σώφρων ἐστὶ τοῖς θεοῖς δῶρα πολλάκις δίδωσιν ὡς τὴν ἀγαθὴν τύχην ἔχῃ.

22.10   μεγίστους κινδύνους πάσχομεν κατὰ θάλατταν πορευόμενοι ἵνα εἰς τὴν Ἑλλάδα ἀφικνώμεθα.

23.1   οἱ Ἀθηναῖοι ἀπέπεμψαν τὰς γυναῖκας, ὡς ἀσφαλεῖς εἶεν.

23.2   εἰ αἴτιος ἔσει, ταύτην τὴν γραφὴν οὐ φεύξει.

23.3   εἰ ἐκεῖνον ἐν τιμῇ τιθεῖντο, τοῖς πολίταις χάριν εἶχεν.

23.4   εἰ οἱ παῖδες περὶ τούτων ἐρωτῷεν, πρὸς αὐτοὺς ἂν ἀποκρίνοιο;

23.5   εἴθε τόδε τὸ ἔργον αὐτίκα τελευτήσειν μέλλοις.

23.6   ὁ δεινὸς φόβῳ ὡς τάχιστα ἀπέφυγεν ὅπως μὴ ὑπὸ τῶν πολιτῶν ληφθείη.

23.7   εἰ οὗτος χρήσιμος τῇ πόλει εἴη, αὐτὸν κριτὴν ἂν σταίης;

23.8   δῆλον αὐτίκα ἐγένετο ὅτι ἐκεῖνοι οἱ τάλανες πολλῶν ἐδέοντο.

23.9   εἰ ὁ ἀδελφός μου εἰς μάχην βαίνοι, μάχεσθαι τοῖς ἀρίστοις ἴσος εἶναι ἐφαίνετο.

23.10   τὰ μὲν ὑπὸ γῇ τοῖς ἀνθρώποις δηλότερα γίγνονται, τὰ δ' ἐν τοῖς οὐρανοῖς οὔ.

24.1   ἀεὶ δικαίως πράττει τις ἐὰν τὸ δαιμόνιον ἑαυτοῦ ἡγῆται;

24.2   τοῦ πολέμου τελευτήσαντος, τὰ τῆς πόλεως ὀλίγῳ ἀμείνονα γέγονεν.

24.3   τήνδε τὴν γυναῖκα δέκα παῖδας τετοκυῖαν οἶσθα;

24.4   τοῖς Ἕλλησι κάλλιστα γέγραπται.

24.5   ποῖος ἂν ἡγεμόνι ἕσποιτο ὃς τὴν ὁδὸν οὐ μέμνηται;

24.6   ἐπειδὴ οἱ νεανίαι εὑρέθησαν, δέκα ἡμέρας ἐστρατεύκεσαν.

24.7   πολλὰ ἀγαθὰ ἑκάστῳ ηὕρηται.

24.8   εἰ ἄλλον φίλον ὅμοιον τῷδε εὕροις, γνοίης ἂν εὐδαιμονέστατος ὤν.

24.9 ἡμέραις τισὶν ἔοικα οὐδὲν δρᾶσαι.

24.10 ἥκω δῶρα πᾶσι φέρων.

25.1 πάντα σκοποίη καὶ μὴ χρησίμου τινὸς ἐπιλάθοιτο.

25.2 ἥκω τοὺς λοιποὺς συμμάχους παρὰ τὸν νεὸν τόπον οἴσων.

25.3 πολλοὶ ἐν τῷ πλήθει πῦρ τῆς μακροτέρας νυκτὸς ᾔτουν.

25.4 τῶν πολεμίων νικηθέντων, ὁ στρατηγὸς ἔπεμψεν ἄνδρας ἑπτὰ αἰτήσοντες γῆν τε καὶ ὕδωρ τῷ τῶν Περσῶν βασιλεῖ. [*The Persians demanded earth and water as a symbol of surrender.*]

25.5 τοῖς πολίταις τὸ κοινὸν πολλὰ παρέσχε ἵνα μηδένος δέοιεν.

25.6 ἴστε ὅπου αἱ λοιπαὶ τῶν γυναικῶν εἰσιν;

25.7 δεκάτῳ ἔτει οἱ Ἕλληνες τέλος ἐνίκησαν καὶ τὴν χαλεπὴν ὁδὸν τὴν πρὸς τὴν πατρίδα ἐπορεύοντο.

25.8 τῶν παίδων λίθους παρὰ τῇ θαλάττῃ ἱέντων, ὁ πατὴρ εἰς τὸ ὕδωρ ἐπὶ κεφαλὴν ἔπεσεν.

25.9 ὁ δεσπότης ἐρωτᾶται εἰ πάντα τῷ ξένῳ παρέσχηκεν.

25.10 οὔ μοι διαφέρει εἴτε τοῖσδε τοῖς χρήμασι χρᾷ εἴτ' ἀποβάλλεις.

26.1 ἠρώτησα εἴ τις τὸν τοῦ βασιλέως νοῦν δηλοῦν δύναται.

26.2 ἵστατε τοὺς κρατηθέντας ὅπου ἂν ὑμῖν δοκῇ.

26.3 μαχοῦμαι ἕως ἂν ὁ πόλεμος τελευτᾷ καὶ τὴν πατρίδα σῶσαι οἷοί τ' ὦμεν.

26.4 οἱ ἀφικόμενοι ἐζήτησαν τοὺς λοιποὺς μέχρι ἡ νὺξ ἦλθεν.

26.5 ἐκείνη ἡ μήτηρ τὰς ἓξ ἑαυτῆς παῖδας ὅ τι ἂν βούλωνται δρᾶν ἐᾷ.

26.6 οὐκ ἂν τὰ ἴδια πράγματα τοῖς ἐχθροῖς δηλοίην.

26.7 ἕως ἂν ἐκεῖνοι χρήσιμοι εἶναι δηλῶνται, μένειν ἐαθήσονται.

26.8 ὅταν ἡ ναῦς ἀφίκηται, θύοντες ἀρξόμεθα.

26.9 πρὶν κακόν τι ποιῆσαι δυνηθῆναι, ἐκεῖνος ὁ κριτὴς τύχῃ ἐχθρότατος ἐδηλώθη.

26.10 ἡ πόλις τὸν λοιπὸν βίον θρέψει ὅστις ἂν τῆς πλείστης τιμῆς ἀξιωθῇ.

Extracises – Key

3.1   (The) man is teaching (the) children.

3.2   I will send horses and gifts.

3.3   Are you are persuading (the) children?

3.4   He sends gifts to (the) foreigners.

3.5   (The) children are sacrificing to a goddess of (the) sea.

3.6   We will harm (the) village.

4.1   Even the Persians sacrifice to the goddess of the sea.

4.2   Deeds of the young men do not harm their friends.

4.3   He/She releases the horse near the marketplace.

4.4   Citizens, we will always teach reason.

4.5   The soldiers will not harm the village, but will march toward the river.

4.6   We will pursue the horses out of the road.

4.7   Now the citizens are both pursuing and destroying the Persians.

4.8   Even in Athens, reason does not always persuade.

5.1   Who (pl.) were keeping watch near the road?

5.2   We will fare well in Athens with our friends.

5.3   Do you trust the Persian now or not?

5.4   The general escaped death because of the gods.

5.5   Who left the horse in the house?

5.6   Whom (pl.) will the gods and goddesses save?

5.7   The soldiers were guarding the horses on the island.

5.8   Citizen, will the young man rule Athens well?

6.1   Did the general save some of the men?

6.2   The wise woman managed her children well, but not the horses.

6.3   What was the Athenian saying about the foreigners?

6.4   Who was king of the Persians after the war?

6.5   Neither the bad nor the just escape death.

6.6   The days are long on the island.

6.7   Whose life will the Athenians save in the dangerous war?

6.8   Both the general and his brother pursued the fine horses.

7.1   Wise men are good leaders.

7.2   Who will bring water to / for the guard?

7.3   The just leader is managing the affairs of the fatherland.

7.4   People then / at that time used to have dangerous weapons. (*use dative of possession*)

7.5   Whose brother was leading the strangers through the hostile country?

7.6   Some of the Greeks didn't use to trust (the) heralds.

7.7   The matter brings honor to the Athenians.

7.8   Some of the men called those with the leader friends.

8.1   We persuaded the enemy not to trust the general.

8.2   The guide orders the young men to bring water.

8.3   Even in war, every man wants to save his life.

8.4   My brother was archon and was ruling the whole country at that time.

8.5   Who (pl.) will lead the ten camels back?

8.6   One man will persuade the citizens with weapons, another with gifts.

8.7   The wise poet has honor because of his beautiful words. (*use dative of possession*)

8.8   Because of the war we trusted the citizens but not the foreigners.

9.1   You and I are taking our mother's things out of the fire and we will save everything in the house.

9.2   Your (pl.) father himself always wanted the same thing.

9.3   Keep teaching everything about Greece.

9.4   Child, never take the possessions of another (person).

9.5   Did you lead the other horses back to Athens?

9.6   We persuaded the same women to keep watch during the night.

9.7   The foreigners had dangerous weapons, but the Greeks themselves saved their country.

9.8   One poet will write beautiful things about the Athenians of that time.

10.1   If you had led the foreigner to the archons, they would have treated him badly.

10.2   Who is willing to help us? For our task is great.

10.3   If you see something, say something.

10.4   When no one else trusted you (pl.), the archon called you (pl.) friends and allies.

10.5   We will honor the gods because we have peace now.

10.6   The citizens themselves used to honor me, but not you (pl.).

10.7   If you never listened to your brother, your father would be miserable.

10.8   Nobody used to live on the island itself.

11.1   The citizens stayed in Athens, but the foreigners fled to the sea.

11.2   The goddess herself ordered the guard to pursue and capture them.

11.3   Xenophon will not kill the men whose land he conquered.

11.4   We remained in the house during the day after our father died.

11.5   I wanted to sacrifice to the same goddess who was helping the whole country.

11.6   If the soldiers were wise, they would be guarding the walls during the night.

11.7   Child, always tell the truth.

11.8   Who persuaded those with the archon to flee away from the sea?

12.1   When the mother came in, she called the children.

12.2   We will honor the cavalrymen who destroyed the walls.

12.3   Do you (pl.) intend to kill all the Persians you seized?

12.4   We believe the allies advised the king well; therefore we are grateful to them.

12.5   I urged the majority to leave their goods behind and flee out of the town.

12.6   Every king thinks he has great power in his character.

12.7   We do not want false words / speeches to corrupt the children.

12.8   The herald believes that the general himself wrote a letter about the character of his son.

13.1   While seeking peace your (pl.) leaders planned / were planning well.

13.2   Not all the Athenians agreed that Socrates was worthy of death.

13.3   Many people are miserable, but the man who has hope lives a happy life.

13.4   The king enjoys listening to the worthy poet.

13.5   Do you think the law treats badly all those who do wrong?

13.6   After they came into the big city, the strangers finally found many friends.

13.7   Our allies kept wanting to carry the bodies of the enemy out of the agora.

13.8   We believe that she is sensible, but (that) he is not.

14.1   Since these women were finally safe, we were especially glad / we rejoiced very much.

14.2   The road to death is short for soldiers.

14.3   That man raised / educated many children while we were away.

14.4   What happened when you met a camel on the road?

14.5   This leader rules that city with justice and skill.

14.6   I will never stop learning.

14.7   These children in fact did a great injustice.

14.8   Indeed these men alone had great skill.

15.1   It makes no difference to me if the Spartans are present or not.

15.2   We used to admire the strength of the riders who were good at doing many things.

15.3   Will the truth be found by anyone after many years?

15.4   There is a certain wise man who always investigates all the things under the earth.

15.5   If the gods are willing, your (pl.) city will finally be saved.

15.6   Why was this man pursued by the cavalry at that time?

15.7   The master's family was admired by everyone.

15.8   In this way everything is endured.

15.9   Friends and children, the end of my life is now present.

15.10   Good things were finally announced to all the citizens.

16.1   That Spartan was suffering many pains with respect to (in) his head because of the sun.

16.2   Why did you stop advising your master?

16.3   The herald answered that he had endured many bad things on the road.

16.4   The enemy marched ten stades in a short time.

16.5   Did you (pl.) decide that these foreigners were still friendly?

16.6   This master said that his brother was unjust, but that he himself was not.

16.7   We did not intend to answer in that way.

16.8   During the night I learned from someone that the enemy had invaded the town.

16.9   The Spartans were not afraid to fight against strong enemies.

16.10   He said that we would find sweet water and friendly men at the foot of the mountain.

17.1   We hope to leave Greece immediately, for to stay is dangerous because of the war.

17.2   Who will judge the judges who do bad things?

17.3   The soldier stood in the sun for the whole day.

17.4   For this reason / Because of this the archons established the laws for us.

17.5   To whom (pl.) shall we give the money after this was done?

17.6   The poet began writing these things when he was young.

17.7   For it seems necessary to me to learn those things from them.

17.8   The Spartans give us our walls and ships and islands.

17.9   Were you (pl.) afraid to stand and fight when the enemy attacked during the night?

17.10   It was a custom for the Greeks to honor with gifts the people who won.

18.1   The master's son was so strong and brave that he was never afraid.

18.2   That king became so powerful that everyone in the country was afraid.

18.3   After we put down our tools / weapons beside the river, we made a fire.

18.4   The wretched herald does not want to announce to the crowd that the city was destroyed.

18.5   My friends received me with honor when I reached Athens.

18.6   I perceived that even strong men feared lions.

18.7   The general learned that the Spartans had marched all night.

18.8   Indeed it is pleasant for new friends to discover each other.

